## Storia della Lingua Greca – Laurea Magistrale – 8.10.2014

### Archil. fr. 19 W.$^2$

“οὔ μοι τὰ Γύγε͜ω τοῦ πολυχρύσου μέλει,
οὐδ᾽ εἷλέ πώ με ζῆλος, οὐδ᾽ ἀγαίομαι
θε͜ῶν ἔργα, μεγάλης δ᾽ οὐκ ἐρέ͜ω τυραννίδος·
ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν”.

**Metro**: trimetri giambici (3ia: ×–⏑–×⁝–⏑⁝–×–⏑⏓‖); sinizesi: vv. 1 Γύγε͜ω, 3 θε͜ῶν, ἐρέ͜ω; tribraco per giambo: v. 3 ἔργᾰ μεγᾰ́λης.

Plut. *Tranq. an.* 10, 470c (I); **(1)** Iub. Art. ap. Rufin. *GL* VI 563,18 (II); **(1–Γύγεω)** Arist. *Rh.* III 17, 1418b 23 (III), *schol. ad l.* (*CAG* XXI/2 256,6) (IV); **(3 μεγάλης–)** *schol.* Aesch. *Pr.* 224 (V). Cf. *Anacreont.* 8,1-4; **(1, 3)** *Et. Gud.* 537,26 Sturz ~ *Et. M.* 771,54; **(1 τὰ Γύγεω)** Hdt. I 12,2, Greg. Naz. *PG* XXXVII 683, 1453; **(3)** *Arg.* Soph. *OR* || **1** οὔ–μέλει testt. pll. : ΩΝΟΙΤΑΡΓΥΡΕΟΥΤΟΥΠΟΑΙΧΡΥΣΟΥ ΝΕΛΕΙ II(**R**) : ΩΛΣΕΙΤΑΡΓΥΡΕΟΥΤΟΥΠΟΛΙΧΡΥΣΟΥΜΕΛΕΙ II(**B**) : desunt Graeca in II(**A**) || **2** οὐδ᾽ εἷλε πώ με ζῆλος I(codd. pll.) : οὐδ᾽ εἰμ᾽ ἐγὼ ζηλωτὸς I(**C**$^1$**V**$^1$) | ἀγαίομαι I(codd. pll.) : ἀγάζομαι I(**S**$^2$**V**) || **3** ἐρέω Schneidewin : ἐρῶ I, V

### Theogn. 373-392, 649-652, 1109-1114

Ζεῦ φίλε, θαυμάζω σε· σὺ γὰρ πάντεσσιν ἀνάσσεις
  τιμὴν αὐτὸς ἔχων καὶ μεγάλην δύναμιν·
ἀνθρώπων δ᾽ εὖ οἶσθα νόον καὶ θυμὸν ἑκάστου·
  σὸν δὲ κράτος πάντων ἔσθ᾽ ὕπατον, βασιλεῦ.
πῶς δή σευ, Κρονίδη, τολμᾷ νόος ἄνδρας ἀλιτρούς
  ἐν ταὐτῇ μοίρῃ τόν τε δίκαιον ἔχειν,
ἤν τ᾽ ἐπὶ σωφροσύνην τρεφθῇ νόος ἤν τε πρὸς ὕβριν
  ἀνθρώπων ἀδίκοισ᾽ ἔργμασι πειθομένων;
οὐδέ τι κεκριμένον πρὸς δαίμονός ἐστι βροτοῖσιν,
  οὐδ᾽ ὁδὸν ἥντιν᾽ ἰὼν ἀθανάτοισιν ἅδοι.
ἔμπης δ᾽ ὄλβον ἔχουσιν ἀπήμονα· τοὶ δ᾽ ἀπὸ δειλῶν
  ἔργων ἴσχοντες θυμὸν ὅμως πενίην
μητέρ᾽ ἀμηχανίης ἔλαβον τὰ δίκαια φιλεῦντες,
  ἥτ᾽ ἀνδρῶν παράγει θυμὸν ἐς ἀμπλακίην
βλάπτουσ᾽ ἐν στήθεσσι φρένας κρατερῆς ὑπ᾽ ἀνάγκης·
  τολμᾷ δ᾽ οὐκ ἐθέλων αἴσχεα πολλὰ φέρειν
χρημοσύνῃ εἴκων, ἣ δὴ κακὰ πολλὰ διδάσκει,
  ψεύδεά τ᾽ ἐξαπάτας τ᾽ οὐλομένας τ᾽ ἔριδας,
ἄνδρα καὶ οὐκ ἐθέλοντα· κακὸν δέ οἱ οὐδὲν ἔοικεν·
  ἡ γὰρ καὶ χαλεπὴν τίκτει ἀμηχανίην.

[…]

*ἆ δειλὴ πενίη, τί ἐμοῖσ᾽ ἐπικειμένη ὤμοις
  σῶμα καταισχύνεις καὶ νόον ἡμέτερον;
αἰσχρὰ δέ μ᾽ οὐκ ἐθέλοντα βίῃ καὶ πολλὰ διδάσκεις
  ἐσθλὰ μετ᾽ ἀνθρώπων καὶ κάλ᾽ ἐπιστάμενον.

[…]

Κύρν᾽, οἱ πρόσθ᾽ ἀγαθοὶ νῦν αὖ κακοί, οἱ δὲ κακοὶ πρίν
  νῦν ἀγαθοί. τίς κεν ταῦτ᾽ ἀνέχοιτ᾽ ἐσορῶν,
τοὺς ἀγαθοὺς μὲν ἀτιμοτέρους, κακίους δὲ λαχόντας
  τιμῆς; μνηστεύει δ᾽ ἐκ κακοῦ ἐσθλὸς ἀνήρ.
ἀλλήλους δ᾽ ἀπατῶντες ἐπ᾽ ἀλλήλοισι γελῶσιν,
  οὔτ᾽ ἀγαθῶν μνήμην εἰδότες οὔτε κακῶν.

## Hippon. fr. 43 Dg.$^2$

ἐμοὶ γὰρ οὐκ ἔδωκας οὔτε κω χλαῖναν
δασεῖαν ἐν χειμῶνι φάρμακον ῥίγε͜ος,
οὔτ᾽ ἀσκέρῃ̯σι τοὺς πόδας δασείῃ̯σιν
ἔκρυψας, ὥς μοι μὴ χίμετλα ῥήγνυται.

**Metro**: coliambi (chol: ×–⏑–×⁝–⏑⁝–×––⏓‖); sinizesi: v. 2 ῥίγε͜ος.

Io. Tz. *ad* Lyc. 855 (pp. 277,10-278,2 Scheer) ‖ **1** οὔτε κω χλαῖναν post Scaligerum (πω) Schneidewin : οὔτε τὴν χ- **P** : οὔτε χωλεύαν **A** (οὔ- χλαῖνα **A**$^2$) : οὔτε χωδαῖνε **Q** : οὔτε χλαῖναν codd. rell. ‖ **2** ῥίγεος Fick : -ευς codd. pll. : -ους **H** ‖ **4** ὥς μοι μὴ Hartung : ὡς μή μοι codd. | χίμετλα codd. pll. : -αιτλα **H** : -ετλος **P** : -εθλα **V**$^2$ | ῥήγνυται codd. pll. (dett.) : ῥιγν- **H** : γίγνηται **APV**

## Hippon. fr. 44 Dg.$^2$

ἐμοὶ δὲ Πλοῦτος – ἔστι γὰρ λίην τυφλός –
ἐς τῳ̯κί᾽ ἐλθὼν οὐδάμ᾽ εἶπεν· "Ἱππῶναξ,
δίδωμί τοι μνέ͜ας ἀργύρου τριήκοντα
καὶ πόλλ᾽ ἔτ᾽ ἄλλα"· δείλαιος γὰρ τὰς φρένας. (⊗)

**Metro**: coliambi (chol: ×–⏑–×⁝–⏑⁝–×––⏓‖), ma il v. 4 (φρε̆́νας) è un trimetro giambico puro (3ia: ×–⏑–×⁝–⏑⁝–×–⏑⏓‖); sinizesi: v. 3 μνέ͜ας; iato: v. 2 τῳ̯κί᾽(*j*) ἐλθών; *correptio 'epica'*: v. 4 δείλαῐος; *correptio 'Attica'*: v. 1 δε̆̀ Πλοῦτος; infrazione al I 'ponte' di Knox (divieto di clausola | –⏑– | ×– | –⏓): v. 1 ἔστι γὰρ | λίην | τυφλός; infrazione al II 'ponte' di Knox (divieto di clausola | –⏑ | ––⏓): v. 2 εἶπεν· | "Ἱππῶναξ.

Io. Tz. *ad* Ar. *Pl.* 87 (p. 30b,1-8 Massa Positano) ‖ **1** λίην van Herwerden : λίαν **Amb** ‖ **3** μνέας Meister : μνᾶς **Amb** | ἀργύρου Bergk : -ρίου **Amb**

## Hippon. fr. 48 Dg.$^2$

κακοῖσι δώσω τὴν πολύστονον ψυχήν,
ἢν μὴ͜ ἀποπέμψῃ̯ς ὡς τάχιστά μοι κριθέ͜ων
μέδιμνον, ὡς ἂν ἄλφιτον ποιήσωμαι
κυκε͜ῶνα πίνειν φάρμακον πονηρίης.

**Metro**: coliambi (chol: ×–⏑–×⁝–⏑⁝–×––⏓‖), ma il v. 4 potrebbe essere un trimetro giambico puro (3ia: ×–⏑–×⁝–⏑⁝–×–⏑⏓‖) se si legge πονηρῐ́ης (ma cf. sotto); sinizesi: vv. 2 κριθέ͜ων, 4 κυκε͜ῶνα; sinecfonesi: v. 2 μὴ͜ ἀποπέμψῃ̯ς; *varia*: v. 4 πονηρῑ́ης (una scansione epica: cf. *Od.* XIII 142, Tyrt. fr. 10,10 W.$^2$).

Io. Tz. *ad Metr. An. Ox.* III 308,20-33 Cramer ‖ **4** πίνειν Ahrens : πίνων codd. : πίονα Ebert | πονηρίης **A** : -ρίοις **BC**